ἐπὶ Ιουδα, ὥστε παντὸς ἀκούοντος ἠχήσει ἀμφότερα τὰ ὦτα αὐ-
13 τοῦ, [13]καὶ ἐκτενῶ ἐπὶ Ιερουσαλημ τὸ μέτρον Σαμαρείας καὶ τὸ
στάθμιον οἴκου Αχααβ καὶ ἀπαλείψω τὴν Ιερουσαλημ, καθὼς ἀπα-
λείφεται ὁ ἀλάβαστρος ἀπαλειφόμενος καὶ καταστρέφεται ἐπὶ πρόσ-
14 ωπον αὐτοῦ, [14]καὶ ἀπώσομαι τὸ ὑπόλειμμα τῆς κληρονομίας μου
καὶ παραδώσω αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἔσονται εἰς
15 διαρπαγὴν καὶ εἰς προνομὴν πᾶσιν τοῖς ἐχθροῖς αὐτῶν, [15]ἀνθ᾽ ὧν
ὅσα ἐποίησαν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς μου καὶ ἦσαν παροργί-
ζοντές με ἀπὸ τῆς ἡμέρας, ἧς ἐξήγαγον τοὺς πατέρας αὐτῶν ἐξ
16 Αἰγύπτου, καὶ ἕως τῆς ἡμέρας ταύτης. [16]καί γε αἷμα ἀθῷον ἐξέ-
χεεν Μανασσης πολὺ σφόδρα, ἕως οὗ ἔπλησεν τὴν Ιερουσαλημ
στόμα εἰς στόμα, πλὴν τῶν ἁμαρτιῶν αὐτοῦ, ὧν ἐξήμαρτεν τὸν
17 Ιουδαν τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. [17]καὶ τὰ
λοιπὰ τῶν λόγων Μανασση καὶ πάντα, ὅσα ἐποίησεν, καὶ ἡ ἁμαρ-
τία αὐτοῦ, ἣν ἥμαρτεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων
18 τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ιουδα; [18]καὶ ἐκοιμήθη Μανασσης
μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν τῷ κήπῳ τοῦ οἴκου αὐ-
τοῦ, ἐν κήπῳ Οζα, καὶ ἐβασίλευσεν Αμων υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.
19 [19]Υἱὸς εἴκοσι καὶ δύο ἐτῶν Αμων ἐν τῷ βασιλεύειν αὐτὸν καὶ
δύο ἔτη ἐβασίλευσεν ἐν Ιερουσαλημ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ
20 Μεσολλαμ θυγάτηρ Αρους ἐξ Ιετεβα. [20]καὶ ἐποίησεν τὸ πονηρὸν
ἐν ὀφθαλμοῖς κυρίου, καθὼς ἐποίησεν Μανασσης ὁ πατὴρ αὐτοῦ,
21 [21]καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ, ᾗ ἐπορεύθη ὁ πατὴρ αὐτοῦ, καὶ
ἐλάτρευσεν τοῖς εἰδώλοις, οἷς ἐλάτρευσεν ὁ πατὴρ αὐτοῦ, καὶ
22 προσεκύνησεν αὐτοῖς [22]καὶ ἐγκατέλιπεν τὸν κύριον θεὸν τῶν πα-
23 τέρων αὐτοῦ καὶ οὐκ ἐπορεύθη ἐν ὁδῷ κυρίου. [23]καὶ συνεστρά-
φησαν οἱ παῖδες Αμων πρὸς αὐτὸν καὶ ἐθανάτωσαν τὸν βασιλέα
24 ἐν τῷ οἴκῳ αὐτοῦ. [24]καὶ ἐπάταξεν πᾶς ὁ λαὸς τῆς γῆς πάντας
τοὺς συστραφέντας ἐπὶ τὸν βασιλέα Αμων, καὶ ἐβασίλευσεν ὁ λαὸς
25 τῆς γῆς τὸν Ιωσιαν υἱὸν αὐτοῦ ἀντ᾽ αὐτοῦ. [25]καὶ τὰ λοιπὰ τῶν
λόγων Αμων, ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βι-
26 βλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ιουδα; [26]καὶ ἔθαψαν
αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ ἐν τῷ κήπῳ Οζα, καὶ ἐβασίλευσεν Ιω-
σιας υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.
22 [1]Υἱὸς ὀκτὼ ἐτῶν Ιωσιας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τριάκοντα

12 ιουδα B†] -δαν rel. || 13 τον(A το) σταθμον *AL*† | ο αλαβαστρος] το -στρον A†, το πυξιον *L*† || 14 απεωσομαι BA: cf. 4 27 | τοις > B† || 15 οσα > *OL*† | εποιησεν BV*† | ημερας $1^{0} \frown 2^{0}$ A† || 16 πλην] + απο B A†, εκτος *L*† | αυτου] -των B† || 18 τω > A | αμων(uel αμμων) *OL*†] αμως rel.: item in 19. 23—25, cf. Par. II 33 20 || 19 δυο $2^{0}$] δωδεκα A$^{r}$† | μεσολλαμ] μασσαλαμειθ A† | ιετεβα] ιεσεβαλ B†, ιεταχαλ A†, ετεβαθα *L*† || 23 τον βασ.] αυτον βασ. B*†, αυτον *L*† || 24 πας] > B†, in *O* sub ÷ || 25 βιβλιου *AL* || 26 αυτου $1^{0}$] > A†; του πατρος αυτου *L*†: cf. 18 | τω $2^{0}$ > *O*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/794 UNIVERSITÄT LEIPZIG